## 4 (3 B.)

(i) *Τὸν ἄργυρον τορεύσας*
*Ἥφαιστέ μοι ποίησον*
*πανοπλίας μὲν οὐχί·*
*τί γὰρ μάχαισι κἀμοί;*
5 *ποτήριον δὲ κοῖλον*
*ὅσον δύνηι βάθυνον.*
*καὶ μὴ ποίει κατ' αὐτό*
*μήτ' ἄστρα μήτ' Ἀμάξας,*
*⟨μὴ στυγνὸν Ὠρίωνα·⟩*
10 *τί Πλειάδων μέλει μοι,*
*τί δ' ἀστέρος Βοώτεω;*
*ποίησον ἀμπέλους μοι,*
13 *καὶ βότρυας κατ' αὐτῶν,*
15 *⟨ποίει δὲ ληνὸν οἴνου,⟩*
16/18 *καὶ χρυσέους πατοῦντας*
20 *ὁμοῦ καλῶι Λυαίωι*
21 *Ἔρωτα καὶ Βάθυλλον.*

(ii) *Τὸν ἄργυρον τορεύσας*
*Ἥφαιστέ μοι ποίησον*
3 *πανοπλίαν μὲν οὐχί·*
5 *ποτήριον δὲ κοῖλον*
*ὅσον δύνηι βάθυνον.*
*ποίει δέ μοι κατ' αὐτοῦ*
*μήτ' ἄστρα μήτ' Ἀμάξας,*
9 *μὴ στυγνὸν Ὠρίωνα,*
12 *ἀλλ' ἀμπέλους χλοώσας*
13/17 *καὶ βότρυας γελῶντας*
20 *σὺν τῶι καλῶι Λυαίωι.*

(iii) *Τὸν ἄργυρον τορεύων*
*Ἥφαιστέ μοι ποίησον*